eul_wid: lke-aa

*Φιλόχορος ὁ Ἀθηναῖος* · Philochorus of Athens

# Testimonies

*Μαρτυρίαι*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Συναγωγή* Collection

3b,328,T 1 SUDA s.v. Φιλόχορος· Κύκνου Ἀθηναῖος, μάντις καὶ ἱεροσκόπος. γυνὴ δὲ αὐτῶι ἦν Ἀρχεστράτη. κατὰ δὲ τοὺς χρόνους γέγονεν ὁ Φιλόχορος Ἐρατοσθένους, ὡς ἐπιβαλεῖν πρεσβύτηι νέον ὄντα [Ἐρατοσθένει]· ἐτελεύτησε δὲ ἐνεδρευθεὶς ὑπὸ Ἀντιγόνου, ὅτι διεβλήθη προσκεκλικέναι τῆι Πτολεμαίου βασιλείαι. ἔγραψεν Ἀτθίδος βιβλία ιζ (F 1—71)· περιέχει δὲ τὰς Ἀθηναίων πράξεις καὶ βασιλεῖς καὶ ἄρχοντας ἕως Ἀντιόχου τοῦ τελευταίου τοῦ προσαγορευθέντος Θεοῦ (ἔστι δὲ πρὸς Δήμωνα)· Περὶ μαντικῆς δ (F 76—79)· Περὶ θυσιῶν α (F 80—82)· περὶ τῆς Τετραπόλεως (F 73—75)· Σαλαμῖνος κτίσιν· Ἐπιγράμματα Ἀττικά· Περὶ τῶν Ἀθήνησι ἀγώνων [βιβλία ιζ ]· Περὶ τῶν Ἀθήνησιν ἀρξάντων ἀπὸ Σωκρατίδου καὶ μέχρι Ἀπολλοδώρου· Ὀλυμπιάδας ἐν βιβλίοιςβ · Πρὸς τὴν Δήμωνος Ἀτθίδα (F 72)· Ἐπιτομὴν τῆς ἰδίας Ἀτθίδος· Ἐπιτομὴν τῆς Διονυσίου πραγματείας περὶ ἱερῶν (no. 357)· Περὶ τῶν Σοφοκλέους μύθων βιβλίαε · Περὶ Εὐριπίδου· Περὶ Ἀλκμᾶνος· Περὶ μυστηρίων τῶν Ἀθήνησι· Συναγωγὴν ἡρωίδων ἤτοι Πυθαγορείων γυναικῶν· Δηλιακά, βιβλίαβ · Περὶ εὑρημάτων· Περὶ καθαρμῶν· Περὶ συμβόλων.

3b,328,T 2 PROKL. HESIOD. Opp. 810: Φιλόχορος λέγει (F 190) καὶ ἀμφότερος ἐξηγηταὶ τῶν πατρίων ἄνδρες.

3b,328,T 3 DIONYS. HAL. De Din. 3 (I 302, 16 U—R): ἡμεῖς δὲ ἐρωτηθέντες ὑπέρ τε τοῦ σημείου (F 67) ... φυγάδων κάθοδον ἔφαμεν προσημαίνειν ... καὶ τὴν κρίσιν ἐπιτελεσθῆναι συνέβη.

3b,328,T 4 PLUTARCH. De glor. Athen. 1 p. 345E: οἱ δ’ ἄλλοι πάντες ἱστορικοί, Κλει[νό]δημοι (323 T 3), Δίυλλοι (73), Φιλόχορος, Φύλαρχος (81).

3b,328,T 5 CLEM. AL. Strom. 6, 26, 8: Μελησαγόρου (330 T 4) γὰρ ἔκλεψεν ... καὶ Ἀνδροτίων (324 T 16) καὶ Φιλόχορος ......

3b,328,T 6 PLUTARCH. De Pyth. or. 19 p. 403E: Ἀλυρίου τοίνυν καὶ Ἡροδότου καὶ Φιλοχόρου καὶ Ἴστρου (334 T 5) τῶν μάλιστα τὰς ἐμμέτρους μαντείας φιλοτιμηθέντων συναγαγεῖν ἄνευ μέτρου χρησμοὺς 〈ἀνα〉 γεγραφότων.

3b,328,T 7 TERTULLIAN. De an. 46 (FULGENT. Myth. 1, 14 p. 24, 16 Helm): quanti autem commentatores et affirmatores in hanc rem! Artemon, Antiphon, Strato, Philochorus, Epicharmus, Serapion, Cratippus, et Dionysius Rhodius, Hermippus, tota saeculi literatura ... ceterum Epicharmus etiam summum apicem inter divinationes somniis extulit cum Philochoro Atheniensi ... nam et oraculis hoc genus stipatus est orbis, ut Amphiarai apud Oropum, ... Pasiphaae in Laconica.

cetera cum suis et originibus et ritibus et relationibus, cum omni deinceps historia somniorum Hermippus Berytensis (IV) quinione voluminum ratiatissime exhibebit.

3b,328,T 8 SUDA s.v. Πωλίων: ... σοφιστεύσας ἐν Ῥώμηι ἐπὶ Πομπηίου τοῦ Μεγάλου ... ἔγραψεν ἐπιτομὴν τῆς Φιλοχόρου Ἀτθίδος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org